Ἱλαρότητι καὶ ἤθους κοσμιότητι
λόγων τερπνότητι
καὶ βίῳ σεμνοπρεπεῖ
σαφῶς πάντα ἄνθρωπον εἷλκες ὡς σίδηρον
λίθου δύναμις
μαγνήτιδος, θεόσοφε,
καὶ πρὸς δόξαν ἐκίνεις Θεοῦ: +

Θεοτοκίον·

Μαρανθὲν τὸ τῶν ἀνθρώπων γένος δέσποινα
ἰῷ τοῦ ὄφεως,
στάχυν τεκοῦσα ζωῆς
τὸν πᾶσι παρέχοντα πνοήν, ἐζώωσας
καὶ ἀνέπλασας
καὶ παραδείσου μέτοχον
ἀπειργάσω, θεοτόκε: +

Ὠδὴ η'. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὁ μέγας τῶν ὄντων οἰκονόμος
καὶ πάντα συνέχων τε καὶ προμηθούμενος,
οὗτος προνοούμενος
τῆς κοινῆς, μακάριε,
πανευσεβοῦς τῆς πίστεως
ὁμολογίας, κοινὸν
διδάσκαλον πατέρα ποιμένα
πᾶσι ταμιεύει καὶ πρόμαχον στερρόν σε. +
Νηπίων βολαὶ τῶν ἀντιδόξων
δογμάτων σοφισματώδεις στροφαὶ ὤφθησαν,
παιδίων ἀθύρματα,
ἀραχνῶν ὑφάσματα
αἱ συμπλοκαί, καὶ δύναμις
γλωσσῶν ἠσθένησεν
ἡ τούτων ἐπὶ σῇ, θεήγορε,
τῇ θεοκινήτῳ καὶ θεολόγῳ γλώσσῃ: +
Ἄρας ὀφθαλμοὺς τῆς διανοίας (f. 766 r.)
καὶ ὅλον σαυτὸν συντείνας πρὸς τὸν Κύριον
βάλλειν μὲν δυνάμενον,
σῴζειν δὲ τοὺς σέβοντας,

24. πᾶσι A : πάλαι B.
29. δυνάμεις A.
31. ἐπὶ σοὶ A. B. at corr. in σῇ A.